## XXV.

### κε΄. Διατί οὐ δύναται ἡ ὕλη ἀρχὴ γνώσεως εἶναι.

Δεῖ γὰρ εἰδέναι, ὅτι τοῦ τὴν ὕλην μὴ δύνασθαι εἶναι ἀρχὴν γνώσεως αὕτη ἐστὶν αἰτία ἡ ξύμπασα· ἡ γὰρ ὕλη καθ' ἑαυτὴν δύναμίς ἐστιν εἰλικρινής· τὸ δὲ ἐν εἰλικρινεῖ δυνάμει ἀόριστόν τί ἐστιν· τὸ δ' ἧ τοιοῦτον ἄπειρόν ἐστιν· τὸ δὲ ἄπειρον, ᾗ τοιοῦτον, ἄγνωστον, ὡς ἐν τρίτῳ τῶν φυσικῶν· ἐκ τοῦ πρώτου ἄρα εἰς τὸ ἔσχατον ἡ ὕλη καθ' ἑαυτήν ἐστιν ἄγνωστος· ὃ δέ ἐστι τόγε ἐφ' ἑαυτῷ ἄγνωστον, ἀδύνατον ἀρχὴν τῆς ἑτέρων γνώσεως εἶναι· καὶ οὕτως ἐναργῶς συμπεραίνεται τὸ τὴν ὕλην μὴ εἶναι ἀρχὴν γνώσεως.

## XXVI.

### κϛ΄. Δόξαι διάφοροι περὶ τοῦ γινώσκεσθαι, ἢ ἄγνωστον εἶναι τὴν ὕλην.

Περὶ τῆς ὕλης, πότερον γνωστή ἐστιν, ἢ μή, καὶ πῶς ἂν εἴη γνωστή, τουτέστι νοεῖσθαι δυναμένη, διάφοροι τοῖς ὑστέροις τῶν διδασκάλων ἐγγεγόνασι δόξαι· ὅθεν καὶ τὸ τὴν ὕλην ἐπιστητὴν εἶναι κατ' ἀναλογίαν, ὅ φησιν Ἀριστοτέλης ἐν τῶν φυσικῶν, ἕκαστοι πρὸς τὴν ἑαυτῶν διάνοιαν ἕλκουσιν. Τινὲς μὲν γὰρ λέγουσιν αὐτὴν εἶναι καθάπαξ ἄγνωστον καὶ ἀνόητον καθ' αὑτήν, κατ' ἀναλογίαν δὲ μόνον, ὥς φησιν Ἀριστοτέλης· τί δέ ἐστι τὸ κατ' ἀναλογίαν; ὡς ὅταν ἐκεῖνο φῶμεν εἶναι τὴν ὕλην, ὅπερ ἐν τοῖς φυσικοῖς ἔχει πρός τε τὸ εἶδος καὶ τὸ σύνθετον ὡς ἐν τοῖς τεχνητοῖς αἱ φυσικαὶ καὶ ἀνέργαστοι ἔχουσιν ὕλαι πρὸς τὸ παρὰ τῆς τέχνης εἰσαγόμενον εἶδος καὶ ὅλον τοῦ τεχνητοῦ τὸ εἶδος, οἷον ὡς ὁ χαλκὸς ἔχει πρός τε τὸ τοῦ ἀνδριάντος εἶδος καὶ αὐτὸν ἀνδριάντα, καὶ τὸ ξύλον πρὸς τὸ τοῦ σκίμποδος εἶδος καὶ ὅλον τὸν σκίμποδα. Ταύτην δὲ τὴν νόησιν, ἅτε μὴ κατ' ἐπέρεισίν τινα τοῦ λογισμοῦ γινομένην, νόθον λογισμὸν ὁ Πλάτων καλεῖ· οἱ δὲ τοῦτο δοξάζοντες οὕτως τῷ τε προτεθέντι ἐπιχειρή-
f. 35ᵛ ματι χρῶνται καὶ πολλοῖς ἄλλοις, οἷά | ἐστι καὶ τὰ τοιάδε.

Οὐδὲν κωλυτικόν, φασί, τοῦ νοεῖν, ᾗ τοιοῦτον, ἔστι νοητόν· ἀλλ' ἡ πρώτη ὕλη κωλύει ἐν ἡμῖν τὸ νοεῖν· ἡ πρώτη ἄρα ὕλη οὐ πέφυκε νοητή. Τῆς μείζονος σαφοῦς οὔσης αὐτόθεν, ἡ ἐλάττων δείκνυται μόνη· τὸ εἶδος, ᾗ ἐστιν ἐν τῇ ὕλῃ, κατ' ἐνέργειαν οὐ νοεῖται, ἀλλὰ μόνον καθὸ ἐκ ταύτης ἀποσπᾶταί τε καὶ ἀφέλκεται.

Ἔτι, ὅσῳ τι ἔλαττον ἐκ τῆς ὕλης ἔχει, τοσούτῳ μᾶλλόν ἐστι νοητόν, καὶ ὅσῳ πλέον, τοσοῦτόν ἐστιν ἔλαττον νοητόν, καὶ διὰ τοῦτο ὁ Θεός, παντάπασιν ἄϋλος ὤν, ἐσχάτως ἐστὶ νοητόν· ὅθεν ὅπερ οὐδέν ἐστιν ἕτερον εἰ μὴ ὕλη μόνον, τοῦτο μόνον δεῖ εἶναι μὴ νοητόν· τοιαύτη δέ ἐστιν ἡ πρώτη ὕλη ἀνόητος· ἄρα καὶ ἄγνωστός ἐστι.

---

17 blanc pour la référence omise codd.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Συνήγορον δὲ καὶ τὸν ἱερὸν Αὐγουστῖνον λαμβάνουσιν, ἐν τοῖς κατὰ Φαῦστον λέγοντα οὑτωσίν· „Ἡ πρώτη ὕλη καθ' ἑαυτὴν οὔτε ὑπὸ αἴσθησιν πεσεῖν, οὔτε νοηθῆναι δύναται".

Ἄλλη δόξα.

Ἄλλοι φασὶ νοητὴν καὶ ἐπιστητὴν εἶναι τὴν ὕλην. Ἡ γὰρ ἐπιστήμη, φασί, τῶν νοητῶν μόνων ἐστίν· ὁ δὲ Φιλόσοφος ἐπιστήμην παραδίδωσι περὶ τῆς ὕλης ἔν τε τῇ φυσικῇ πραγματείᾳ κἂν τῇ μετὰ τὰ φυσικά· ἡ ὕλη ἄρα νοητή ἐστι κατ' αὐτόν.

Ἔτι, πᾶν ὅπερ ἐστὶ πρᾶγμα, ὅσον τὸ ἐφ' ἑαυτῶν, νοητόν ἐστιν· ἡ δὲ πρώτη ὕλη πρᾶγμά ἐστιν· ὥστε καὶ τὸ συμπέρασμα. Ἡ μείζων σαφής ἐστιν· ἡ γὰρ τοῦ εἶναι ἀρχή, καὶ τοῦ γινώσκειν ἐστὶν ἀρχή, καὶ ἕκαστον οὕτως ἔχει πρὸς τὸ εἶναι ὥσπερ πρὸς τὸ γινώσκεσθαι, καὶ διὰ τοῦτο ταὐτόν ἐστι τό τε πρᾶγμά τι εἶναι καὶ τὸ εἶναι νοητόν. Ἡ δέ γε ἐλάττων οὑτωσὶ δύναται δείκνυσθαι· οὐδέν ἐστιν ἀληθῶς ἐστερημένον τινός, εἰ μὴ ὅπερ ἐστὶ πρᾶγμα καὶ φύσις τις· ἀλλ' ἡ πρώτη ὕλη ἀληθῶς ἐστέρηται τῶν εἰδῶν· ὥστε καὶ τὸ συμπέρασμα. Ἡ μείζων καὶ τούτου τοῦ λόγου φανερά ἐστιν· ἄλλως γὰρ ἦν ἂν στερήσεως στέρησις, ὅπερ ἀδύνατον. Καὶ ἡ ἐλάττων ὁμοίως πέφυκε φανερά· εἰ γὰρ μὴ ἦν ἀληθῶς ὑφισταμένη τὴν στέρησιν ἡ πρώτη ὕλη, οὐκ ἂν ὑποκείμενον τῆς φυσικῆς ὑπῆρχε μεταβολῆς.

Ἔτι, τὸ φυσικὸν σύνθετον γνωστόν ἐστι, καὶ τοῦτο σαφές ἐστιν αὐτόθεν· ἀλλὰ κατὰ τὸν Φιλόσοφον τότε οἰόμεθα ἐπίστασθαι τὸ φυσικὸν πρᾶγμα σύνθετον ὄν, ἐπειδὰν αὐτοῦ τὰς ἀρχὰς γνῶμεν καὶ τὰ αἴτια· αἱ ἄρα ἀρχαὶ τοῦ φυσικοῦ συνθέτου γινώσκονται· ἀρχαὶ δὲ παντὸς φυσικοῦ συνθέτου | ὕλη τε καὶ εἶδος εἰσίν· τὸ εἶδος ἄρα καὶ ἡ ὕλη νοητά εἰσιν f. 36
ὁμοίως.

Ἄλλη δόξα.

Ἕτεροι εἶπον νοητὴν εἶναι ταύτην κατὰ συμβεβηκός, τουτέστι κατ' ἄλλο· εἰρήκασι γὰρ αὐτὴν νοητὴν εἶναι τῇ στερήσει πάντων τῶν εἰδῶν, τῶν τε οὐσιωδῶν καὶ τῶν κατὰ συμβεβηκός, καὶ πάσης τῆς τῶν φυσικῶν διαθέσεως, μετὰ μέντοι γε τῆς πρὸς πάντα τὰ εἴδη ἐπιτηδειότητος· οὐ γὰρ ἐστερῆσθαι τὴν πρώτην ὕλην τῶν εἰδῶν οὕτως, ὡς τὸ ξύλον τοῦ ἀληθοῦς τοῦ ἀνθρώπου εἴδους ἐστέρηται· τὸ μὲν γὰρ ξύλον ἐστερημένον αὐτοῦ, καὶ δύναμιν οὐδεμίαν ἔχει πρὸς αὐτό, καὶ διὰ τοῦτο οὐδαμῇ οὐδαμῶς δύναται τοῦτο ὕλη τοῦ ἀνθρώπου εἶναί ποτε· ἡ δὲ πρώτη ὕλη, καὶ νοουμένη παντὸς εἴδους ἄνευ, νοεῖται μέντοιγε δύναμιν ἔχουσα πρὸς ὑποδοχὴν εἴδους παντός. Ὅτι δὲ δυνατόν ἐστιν αὐτὴν νοεῖν διὰ τῆς στερήσεως,

---

10 *τὸ ἐφ' ἑαυτῶν* sic codd.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοιούτῳ λόγῳ δεικνύουσιν· πᾶν ἁπλοῦν νοητόν ἐστι τῇ στερήσει τοῦ συγκειμένου, ὥσπερ ἡ ἐπιφάνεια νοεῖται τῇ στερήσει τοῦ σώματος, καὶ ἡ γραμμὴ διὰ τῆς στερήσεως τῆς ἐπιφανείας, καὶ ἡ μονὰς ἄθετος οὖσα, τῇ τοῦ σημείου στερήσει θέσιν ἔχοντος· ἀλλ' ἡ πρώτη ὕλη ἁπλῆ ἐστιν· ἔστιν οὐκοῦν νοητὴ διὰ στερήσεως, τοιαύτης μέντοι γε, τουτέστιν ἐπιμεμιγμένης δυνάμει τινί· δι' εἰλικρινοῦς γὰρ στερήσεως οὐκ ἄν ποτε νοεῖσθαι ἠδύνατο, ὥσπερ οὐδὲ δι' εἰλικρινῶς ἀποφατικῶν ἐπίστασθαί τι δυνατόν ἐστιν, ἂν μὴ καὶ καταφατική τις συμπλέκηται πρότασις· καὶ οὕτω νοοῦσιν οἵ γε τοιοῦτοι τὸ τὴν ὕλην γνωστὴν εἶναι κατ' ἀναλογίαν. Ὥσπερ γάρ, φασί, παντὸς εἴδους τεχνητοῦ ἀπὸ τοῦ χαλκοῦ ἀφαιρουμένου, χαλκός ἐστι τὸ λειπόμενον μετὰ τῆς πρὸς ἅπαν τεχνητὸν εἶδος δυνάμεως, οὕτω καὶ παντὸς εἴδους ἀναιρουμένου τῇ ἐπινοίᾳ τῶν ἐν τῇ φύσει πραγμάτων, ἡ πρώτη ἐστὶν ὕλη τὸ λειπόμενον μετὰ τῆς πρὸς τὰ εἴδη πάντα δυνάμεως· καὶ ἔστιν ὡς ἐκεῖ χαλκός, οὕτως ἐνταῦθα ἡ πρώτη ὕλη, καὶ ἔστιν ὥσπερ λόγος τις τῆς πρώτης ὕλης ἡ πάντων τῶν εἰδῶν στέρησις μετὰ τῆς πρὸς πάντα ταῦτα δυνάμεως. Καὶ οὕτω φασὶ τὴν ὕλην γινώσκεσθαι διὰ τῆς στερήσεως, καὶ ἑπομένως κατὰ συμβεβηκός, ὅτι κατ' ἄλλο, οὐ καθ' αὑτήν.

## Ἄλλη δόξα.

Ἄλλοι τὸ μὲν διὰ στερήσεως νοεῖσθαι τὴν ὕλην οὐδόλως προσίενται· ἡ γὰρ στέρησις, φασί, τοῦ εἴδους οὐδενός ἐστιν εἶδος, πᾶν δὲ νοούμενον εἴδει τινὶ νοεῖται· ἡ πρώτη ἄρα ὕλη διὰ στερήσεως οὐ νοεῖται.

Ἔτι, ἡ ὕλη, φασί, προτέρα ἐστὶ φυσικῶς τῆς τοῦ εἴδους στερήσεως,
f. 36v εἴγε ἡ στέ|ρησις διὰ τὴν ὕλην ἔχει τὸ εἶναι προτέρα τοῦ εἴδους· ἀλλ' ὃ φυσικῶς ἐστι πρότερον, καὶ νοητόν ἐστι πρότερον· ἡ ἄρα ὕλη φυσικῶς νοητή ἐστι πρότερον ἢ ἡ στέρησις τοῦ ἐν αὐτῇ εἴδους, καὶ οὕτως ἡ πρώτη ὕλη οὐκ ἔστι νοητὴ διὰ τῆς στερήσεως, εἴπερ τὸ δι' οὗ τι νοεῖται, δεῖ πρότερον νενοῆσθαι τοῦ δι' αὐτοῦ νοουμένου. Διὰ στερήσεως μὲν οὖν οὐ βούλονται τὴν πρώτην ὕλην γινώσκεσθαι, δι' εἴδους δὲ μᾶλλον· ἕκαστον γάρ, φασίν, ᾧ ἔστι, τούτῳ δὴ καὶ νοεῖται· ἀλλ' ἡ πρώτη ὕλη τοῦθ' ὅπερ ἐστί, τῷ εἴδει ἐστίν· ἡ πρώτη ἄρα ὕλη τῷ εἴδει νοεῖται. Καὶ οὕτω νοοῦσι τὸν Ἀριστοτέλην λέγοντα τὴν ὕλην γνωστὴν εἶναι κατ' ἀναλογίαν, τουτέστι κατὰ τὸ εἶδος, πρὸς ὃ δήπου ἀναλόγως ἔχει ἡ ὕλη, τουτέστιν ἀναφορικῶς.

## Ἄλλη δόξα.

Ἄλλοι συγχωροῦσι μὲν δι' εἴδους εἶναι γνωστὴν τὴν πρώτην ὕλην, ἀλλ' οὐ τῷ τρόπῳ τῶν προτέρων ἐκείνων. Φασὶ γὰρ ὡς, εἴπερ ἡ ὕλη νοοῖτο δι' ὕλης, δι' εἴδους ἀμέσως γινώσκοιτ' ἂν τῷ αὐτῷ τῇ στερήσει τρόπῳ· ἡ στέρησις γὰρ γινώσκεται δι' ἐκείνου προδήλως οὗ ἐστι στέρησις, τῆς ἕξεως δηλονότι, ἢ τοῦ εἴδους· ἀλλὰ τὰ γινωσκόμενα ὁμοίως καὶ ὁμοίως

ΙΩΑΝΝΙΝΑ 2006

εἰσίν· ἡ πρώτη ἄρα ὕλη στέρησις ἔσται, ὅπερ ἀδύνατον· εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν ἦν ἀρχὴ τῶν φυσικῶν καθ' αὑτήν, ἀλλ' ἢ μόνον κατὰ συμβεβηκός, ὃ ψεῦδός ἐστι καὶ τῇ ἀριστοτελικῇ θέσει παντάπασιν ἐναντίον.

Ἀλλὰ πῶς αὐτοὶ λέγουσι δι' εἴδους νοεῖσθαι τὴν ὕλην; Τριῶν, φασίν, ἀρχῶν οὐσῶν πάντων τῶν ἐν τῇ φύσει πραγμάτων κατὰ Ἀριστοτέλη, ὕλης, εἴδους καὶ στερήσεως, τὰ τρία εἰς δύο ἀνάγονται· τὴν γὰρ στέρησιν εἰς τὴν ὕλην ἀνάγειν δεῖ, κατά γε αὐτὸν Ἀριστοτέλην, ὡς ἐν τῇ ὕλῃ τῆς στερήσεως οὔσης· τούτου δὲ οὕτως ἔχοντος, εἴπερ ἡ στέρησις δι' εἴδους γινώσκεται, ὡς προείρηται, τοῦ γε ἀντικειμένου, καὶ ἡ ὕλη ἐν ᾗ ἐστιν ἡ στέρησις δι' εἴδους γινώσκοιτ' ἂν τοῦ αὐτοῦ, μεσιτευούσης δηλαδὴ τῆς στερήσεως.

Ἄλλη δόξα.

Ἄλλοι πάλιν ταύτην μὲν ἀναιροῦσι τὴν θέσιν, ἐκεῖνά τε λέγοντες δι' ὧν δέδεικται πρὸ μικροῦ μὴ γινώσκεσθαι τὴν ὕλην διὰ στερήσεως, καὶ πρὸς τούτοις τοιοῦτόν τι λέγοντες· ἡ ὕλη ἢ τοῦτ' αὐτό ἐστιν ὅπερ ἡ στέρησις, ἢ οὐχί· εἰ μὲν οὖν ἔστιν, ἐπειδὴ ἡ πρώτη ὕλη τοῖς ἐναντίοις ὑπόκειται, καὶ ἡ στέρησις ἄρα· καὶ οὕτω θάτερον τῶν ἐναντίων ὑποκείσεται τῷ λοιπῷ ὡς ἕξει, ὅπερ ἀδύνατον· καὶ πρὸς τούτοις οὔτ' ἐκ τῆς | τῶν συνθέτων οὐσίας ἡ πρώτη ὕλη, οὔτε οὐσία ἔσται, καὶ πολλὰ τὰ f. 37 ἄτοπα ἀκολουθήσουσιν. Εἰ δὲ οὐκ ἔστιν ἡ ὕλη τοῦτ' αὐτὸ ὅπερ ἡ στέρησις, ἀλλὰ ὕλη καὶ στέρησις, τουτέστι φύσις τις ἐν ᾗ ἐστι στέρησις ἑτέρας φύσεως, ὅσον μὲν ἐν αὐτῇ τῆς στερήσεως ἔστι, δι' εἴδους ἔσται γνωστόν, ὡς εἴρηται πρότερον· ὅσον δὲ θετικόν ἐστιν ἐν αὐτῇ, οὐκ ἔσται γνωστὸν δι' εἴδους διὰ τὰ εἰρημένα.

Ἄλλη δόξα.

Ἕτεροι φασίν, ὅτι αὐτὴ ἡ οὐσία τῆς ὕλης ἐστὶν ἀναφορικὴ πρὸς τὸ εἶδος, ὥσπερ ἡ δύναμις πρὸς τὴν ἐνέργειαν ἔστι τε καὶ λέγεται· ἡ δὲ οὐσία τῆς ὕλης αὐτὴ ἡ δύναμις ἐστὶ τῆς ὕλης, ᾗ ποτε πρὸς τὴν τὸ εἶδος ἐνέργειαν ἔστι τε καὶ λέγεται, καὶ διὰ ταῦτα, ὥσπερ τὸ ἀναφορικὸν οὐ δύναται χωρὶς εἶναι τοῦ ἀνταποκρινομένου ἀναφορικοῦ, οὕτως οὐδ' ἡ ὕλη χωρὶς εἴδους εἶναι δύναται, ἀλλὰ θάτερον τῶν ἀναφορικῶν οὐ δύναται γινώσκεσθαι ἄνευ θατέρου· οὐκοῦν οὐδ' ἡ ὕλη τοῦ εἴδους χωρίς. Καὶ οὕτω νοοῦσι τὸ κατ' ἀναλογίαν εἶναι γνωστὴν τὴν ὕλην, ἀναλογίαν τὴν πρὸς τὸ εἶδος σχέσιν καὶ τὴν ἀναφορὰν ἐκλαμβάνοντες. Προστιθέασι δὲ καὶ ὅτι τὸ εἶδος οὐκ ἀναφέρεται πρὸς τὴν ὕλην ὁμοίως, καὶ δηλονότι δύναται εἶναι χωρὶς τῆς ὕλης τρόπον τινά· ἔχει γὰρ ἐν τῷ νῷ τὸ εἶναι, ὅπερ οὐκ ἔστιν ἔνυλον εἶναι, κἀντεῦθεν οὐδὲ προτέρα ἐστὶ φύσει τοῦ εἴδους ἡ ὕλη, ἀλλὰ τὸ εἶδος ἐστὶ πρότερον τῇ φύσει τῆς ὕλης· καὶ ἡ μὲν ὕλη

9 *ἀναμφιβόλως* après *προείρηται* add L



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γινώσκεται δι' εἴδους ὡς ἀναφερομένη πρός γε ἐκεῖνο· τὸ δὲ εἶδος καὶ ἄνευ τῆς ὕλης γινώσκεσθαι δύναται ὡς μὴ ὁμοίως πρὸς ταύτην ἀναφερόμενον.

### Ἄλλη δόξα.

Ἕτεροι καὶ ταύτην ἀναιροῦσι τὴν δόξαν, τοὺς ταύτης θεμελίους διασαλεύοντες. Πρῶτον μὲν γὰρ ἀδύνατον εἶναι φασὶ τὴν δύναμιν τῆς πρώτης ὕλης αὐτὴν εἶναι τὴν οὐσίαν αὐτῆς· ἡ μὲν γὰρ πρώτη ὕλη μένει, φασίν· ἡ δὲ δύναμις αὐτῆς οὐκ ἀεὶ μένει· ὅταν γάρ ποτε προαχθῇ εἰς ἐνέργειαν, πέπαυται εἶναι δύναμις.

Ἔτι, ἡ δύναμις τῇ ἐνεργείᾳ ἀντίκειται, ἡ δὲ πρώτη ὕλη οὐδενί ἐστιν ἐναντία· ἡ δύναμις ἄρα οὐχ ὑπόκειται τῷ εἴδει ὡς ὕλη.

Δεύτερον, ἀδύνατον εἶναι φασὶ τὴν ὕλην ἀναφορικῶς λέγεσθαι πρὸς τὸ εἶδος· ἡ γὰρ οὐσία, φασί, καθὸ τοιαύτη, οὐκ ἔστι πρός τι ἀλλ' ἡ πρώτη ὕλη οὐσία ἐστὶ καὶ ἁπλῆ· ἡ ἄρα πρώτη ὕλη οὐκ ἔστι πρός τι.

Ἔτι, οὐδὲν ἀναφορικὸν δεκτικόν ἐστι τοῦ ἀναναφερομένου πρὸς αὐτὸ f. 37v ὡς ὑποκείμενον αὐτοῦ· ἀλλ' ἡ πρώτη ὕλη δεκτική ἐστι πάντων τῶν τε οὐσιωδῶν καὶ τῶν συμβεβηκότων εἰδῶν· ἡ ἄρα πρώτη ὕλη πρὸς οὐδέν ποτε εἶδος λέγεται ἀναφορικῶς, διότι πάντων ἐστὶ δεκτική.

Ἔτι, πᾶν ἀναφορικὸν ἑτέρου τε ἤρτηται καὶ ἔστιν ἐν ἄλλῳ· ἡ δὲ πρώτη ὕλη ἤρτηται μὲν ἄλλου, ἐν ἄλλῳ δὲ οὐκ ἔστιν· οὐσία γάρ ἐστιν· ἡ ἄρα πρώτη ὕλη οὐκ ἔστιν ἀναφορική.

Ἔτι, πᾶν ἀναφορικὸν ὂν ἐστι κατ' ἐνέργειαν· πᾶσα γὰρ ἀναφορὰ δύο ὅρους ἐνεργείᾳ ὄντας ἐπιζητεῖ· ἡ δὲ πρώτη ὕλη οὐκ ἔστιν ἐνεργείᾳ ὄν· οὐκοῦν οὐδ' ἀναφορική ἐστιν.

Οὗτοι μὲν οὖν πάντες λέγουσι τὴν ὕλην εἶναι νοητὴν κατ' ἄλλο, πλὴν διαφόρως τοῦτ' ἀξιοῦσιν, ὡς εἴρηται.

### Ἄλλη δόξα.

Γεγόνασι δέ τινες νοητὴν αὐτὴν εἶναι φάσκοντες καθ' αὑτήν, καὶ οὗτοι οὐ τὸν αὐτὸν τρόπον πάντες τοῦτ' ἀξιοῦσιν, ἀλλὰ διαφόρως, ὡς καὶ οἱ πρότεροι. Οἳ μὲν γὰρ φασὶν ὅτι ἡ πρώτη ὕλη καὶ τὸ εἶδος τὴν αὐτὴν ἔχουσι παντάπασιν ὕπαρξιν, καὶ διὰ τοῦτο ὥσπερ τὸ εἶδός ἐστι νοητόν, οὕτω δὴ καὶ τὴν ὕλην νοητὴν εἶναι δεῖ καθ' αὑτήν. Τοῦτο δὲ οὐ δοκεῖ τισιν ἀληθές· ἡ γὰρ ὕλη λαμβάνον ἐστί, τὸ δὲ εἶδος λαμβανόμενον, καὶ ἡ μὲν κινουμένη, τὸ δὲ κινοῦν· τὸ γὰρ κινεῖν καὶ ποιεῖν τοῦ εἴδους ἐστί, τῆς δέ γε ὕλης τἀναντία τούτων· οὐκοῦν οὐχ οἷόν τε ταὐτὸν εἶναι ταῦτα καθ' ὕπαρξιν.

Ἔτι, τὰ μὲν τρία γένη τῶν αἰτίων ἔσθ' ὅτε συμπίπτει, φασὶ κατὰ Ἀριστοτέλη· ποιοῦν δηλονότι, τέλος καὶ εἶδος· ἡ δὲ τετάρτη τῶν αἰτίων, ἥτις ἐστὶν ἡ ὕλη, οὐ λέγεται συμπίπτειν αὐτοῖς· ἡ ὕλη ἄρα καὶ τὸ εἶδος

εἰς μίαν ὕπαρξιν οὐ συμπίπτουσιν. Διὰ δὴ ταῦτα τῷ μὲν λόγῳ τῶν προτέρων ἐκείνων οὐ συγχωροῦσι, τῇ μέντοι γε δόξῃ συνᾴδουσιν· οἴονται γὰρ καὶ αὐτοὶ τὴν ὕλην νοητὴν εἶναι καθ' αὑτήν, νοεῖσθαι μέντοι γε ὑφ' ἡμῶν οὐδαμῶς, καὶ τοῦτο διὰ τὴν ἔλλειψιν τοῦ ἡμετέρου νοῦ γίνεσθαι. Τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· ἡ γὰρ πρώτη ὕλη ἀρχή ἐστι τῶν ἐν τῇ φύσει πραγμάτων· τῆς ἀρχῆς δὲ οὔσης ἀγνώστου, καὶ τὰ ἐκ τῆς ἀρχῆς ἄγνωστα εἶναι δεῖ· ἀδύνατον γὰρ γινώσκεσθαι τὸ αἰτιατόν, μὴ τοῦ αἰτίου γνωσθέντος, λέγω δὲ γινώσκεσθαι τὰ αἰτιατὰ κατ' ἐπιστήμην κυρίως, καὶ τὸ αἴτιον γνωστὸν εἶναι ὡς ἡ τῶν αἰτίων γνῶσις ἐν ἡμῖν πέφυκε γίνεσθαι· εἰ τοίνυν ἡ πρώτη ὕλη μὴ νοοῖτο παρὰ τοῦ ἡμετέρου νοῦ, οὐδὲ τὰ ἄλλα παρ' αὐτοῦ νοηθείη γ' ἂν ὡς δὴ νοεῖσθαι αὐτὰ δεῖ, καὶ οὕτω ψευδὴς ἔσται ξύμπασα ἡ φυσικὴ ἐπιστήμη.

### Ἄλλη δόξα.

Ἄλλοι λέγουσι τὴν πρώτην ὕλην νοητὴν | εἶναι καθ' αὑτήν, καὶ οὕτως f. 38
ὑπὸ τοῦ ἀνθρωπίνου νοῦ νοεῖσθαι. Πᾶν γάρ, φασι, τὸ καθ' αὑτὸ νοητὸν ἢ εἶδος ἐστίν, ἢ εἶδος ἔχον, καὶ πᾶν ὅπερ εἶδος ἐστὶν ἢ εἶδος ἔχον καθ' αὑτὸ νοεῖσθαι δύναται· ἡ δὲ πρώτη ὕλη, εἰ καὶ μὴ ἔχει εἶδος, ἔχει μέντοι ὡς εἶδος τὴν οὐσίαν αὐτῆς, ᾗ τὰ μέρη αὐτῆς καθ' αὑτὰ καὶ μετὰ τοῦ ὅλου ὁμογενῆ εἰσιν· δι' ἧς οὐσίας νοεῖσθαι δύναται. Ἀλλὰ καὶ τοῦτο σαλεύεσθαι ῥᾴδιον. Εἰ γὰρ ἡ οὐσία τῆς ὕλης νοοῖτο ὡς εἶδος, οὐκ οὖσά γε εἶδος, οὐκοῦν νοεῖται διά τινος ὁμοιότητος πρὸς τὸ ἀληθῶς εἶδος· τὸ δὲ οὕτω νοούμενον οὐ καθ' αὑτό, ἀλλ' ἀναλογικῶς τε καὶ ὥσπερ ἐν συγκρίσει νοεῖται· ἡ ἄρα πρώτη ὕλη οὐ καθ' αὑτὴν ἀλλ' ἔν τινι πρὸς ἕτερον ἀναλογίᾳ νοεῖται.

## XXVII.

### κζ'. Διάκρισις τῶν δοξῶν καὶ διορισμὸς τῆς ἀληθείας.

Ἀλλὰ ῥητέον ἂν εἴη καθόλου πρὸς τοῦτο τὸ ζήτημα διακαθάρασι τὰς πρότερον εἰρημένας δόξας, καὶ τὸ μὲν ἀληθὲς ἐξ αὐτῶν προσηκαμένοις, ἀπωσαμένοις δὲ τὰ μὴ οὕτως ἔχοντα. Δοκεῖ τοίνυν τὴν ὕλην οὔτε κατ' ἄλλο μόνον εἶναι νοητήν, οὔτε καθ' αὑτὴν μόνον, ἀλλ' ἑκατέρῳ πως τῷ τρόπῳ. Ἡ γὰρ πρώτη ὕλη πῇ μέν ἐστιν ἐκ τῆς θεωρίας τοῦ φυσικοῦ, ἐπειδὰν ὡς ὑποκείμενον τῆς στερήσεως καὶ τοῦ αἴσχους καὶ τῆς ἐλλείψεως καὶ τῆς φυσικῆς μεταβολῆς καὶ τῶν τοιούτων νοῆται, καὶ τοῦτον θεωρουμένη τὸν τρόπον νοητή ἐστι τῇ πρὸς τὸ εἶδος καὶ τὴν αὐτοῦ στέρησιν ἀναφορᾷ· τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ Φιλόσοφος αὐτὴν πρός τι φησὶν εἶναι, οὐ βουλόμενος τὴν ὕλην τοῦτ' αὐτὸ εἶναι ἀναφοράν· οὐσία γὰρ οὖσα ἡ ὕλη,

---

37 *αὐτὴν* après *φησὶν* L



Ε.ΤΙΑ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πῶς ἂν ἐν τῷ τῆς ἀναφορᾶς εἴη γένει; ἀλλὰ φύσιν εἶναί τινα ταύτην, ἐφ' ἧς θεμελιοῦται ἡ ἀναφορά· ἀναφέρεται δὲ πρὸς τὸ εἶδος, οὗτινος ἠρτημένον ἐστὶ πᾶν ὅπερ ἡ ὕλη ἐστὶ καθ' αὑτήν. Οὐκ ἀδύνατον δέ ἐστιν οὐσίαν τινά, ᾗ ἤρτηταί τινος, ἀναφορικὴν εἶναι πρὸς αὐτό, οὐκ αὐτὸ τοῦτο οὖσαν ἀναφοράν, ἀλλ' οὐσίαν ἀναφερομένην· χεὶρ γὰρ καὶ κεφαλὴ καὶ τὰ τοιαῦτα, οὐσίαι ὄντα, τοῦθ' ὅπερ εἰσὶ πρός τι εἰσίν· ἕκαστον γὰρ αὐτῶν τοῦθ' ὅπερ ἐστίν, οἷον χεὶρ ἢ κεφαλή, ἐν τῷ ἐξηρτῆσθαι τοῦ ὅλου ἐστίν· ὅθεν ὁπόταν ἀποτμηθῇ τῆς ὁλότητος τῆς ἐξαρτήσεως ἐκείνης καὶ τῆς πρὸς τὸ ὅλον τάξεως, ἢ τὸ τοῦ ὅλου εἶδος ἀναιρουμένης, οὐκέτι χεὶρ λέγεται εἰ μὴ ὁμωνύμως, καὶ οὐκ ἔστιν οὕτως ἡ χεὶρ ἀναφορά, ἀλλ' οὐσία τις, ἐφ' ἧς ἵδρυται ἡ ἀναφορά. Καὶ αὐτὴ τοίνυν ἡ ὕλη ὅλον ὅπερ ἐστίν, ἐν f. 88v δυνάμει τέ ἐστι καὶ τοῦ εἴδους ἠρτη|μένον ἐστίν, ὅπερ καθ' αὑτό ἐστιν ἐνέργεια, ἐξ οὗ λαμβάνει τὸ εἶναι καθ' ὅλην ἑαυτήν, ὥστε καὶ διὰ τοῦ εἴδους γινώσκεται, πρὸς ὅ ποτε ἀναφορικῶς ἔχει· δι' οὗ γὰρ ἔστιν ἕκαστον, καὶ διὰ τούτου νοεῖται. Καὶ διὰ τοῦτ' ἀληθές ἐστι λέγειν, ὡς ἡ ὕλη πρός τι ἐστίν, τουτέστιν ἔχει τινὰ φύσιν, ἐφ' ἧς ἐρείδεται ἡ πρὸς τὸ εἶδος ἀναφορὰ αὐτῆς, ὥσπερ ὁπόταν λέγωμεν, ὅτι τὸ χρῶμα, ᾗ ὁρατόν, πρός τι ἐστίν, οὐχ ὡς αὐτοῦ ἐν τῷ γένει τῆς ἀναφορᾶς ὄντος, ἀλλ' ὡς ἐν αὐτῷ φύσεως τινὸς οὔσης, ἐπισπωμένης τὴν ὄψιν. Τούτῳ μὲν οὖν ἡ ὕλη θεωρουμένη τῷ τρόπῳ δι' ἄλλο μόνον ἐστὶ νοητή.

Ἕτερον δὲ τρόπον ἡ ὕλη θεωρεῖσθαι δύναται, καθὼς διὰ νοῦ περιγράφεται πᾶν αἶσχος ἀπ' αὐτῆς, καὶ ἔλλειψις πᾶσα καὶ στέρησις, καὶ οὕτως ἐκ τῆς θεωρίας ἐστὶ τοῦ πρώτου Φιλοσόφου, ὃς τὰς οὐσίας σκοπεῖ γυμνάς, οὐ καθὼς εἰσιν ἐν μεταβολῇ τινι καὶ κινήσει. Οὕτω γὰρ καὶ ἡ ὕλη θεωρουμένη οὐκ ἔστιν ὑποκείμενον τῆς μεταβολῆς, ἀλλ' ἔστι τις φύσις ἐν ἑαυτῇ παρὰ πᾶσαν ἀπόβλεψιν εἴδους τε καὶ τῆς τοῦ εἴδους στερήσεως· οὐ γάρ ἐστι παντελῶς οὐδὲν ἡ ὕλη, ἀλλὰ φύσις τίς ἐστιν, ἄλλη παρὰ τὸ εἶδος. Ὡς ἡ φύσις τοῦ εἴδους ἐν τῷ συνθέτῳ ἐνδεῶς ἔχουσα πρός γε τὸ σύνθετον, οὕτω καὶ αὐτὴ ἐνδεῶς ἔχουσα πρός γε τὸ εἶδος· τό τε γὰρ εἶδος δυνάμει ἐστὶ πρὸς τὸ σύνθετον, εἰ καὶ πρὸς τὴν ὕλην ἐνέργειά ἐστι, καὶ ἡ ὕλη δυνάμει ἐστὶν ὅλη πρὸς τὸ εἶδος, καὶ ἡ τοιαύτη δύναμις ἐστὶν ἡ οὐσία αὐτῆς, ᾗ πραγματικῶς τε διακέκριται τοῦ εἴδους καὶ ὄν ἐστιν ὁμολογουμένως, εἰ καὶ μὴ τῷ κατὰ τὴν ἐντελέχειαν εἶναι· οὔπω γὰρ τούτου μετέχει καθ' ἑαυτήν, ἀλλὰ τῷ γε οὐσίαν ἔχειν τινὰ τὴν εἰρημένην, ᾗ τοῦ εἴδους πραγματικῶς διενήνοχεν. Οὕτω δὴ θεωρουμένη, νοητή ἐστι καθ' αὑτήν, καὶ οὐ κατ' ἄλλο οὐδὲ δι' ἄλλου. Εἰ δὲ λέγοι τις· καὶ μὴν οὕτω θεωρουμένη, οὔτε εἶδός ἐστιν, οὔτε εἶδος ἔχει, πῶς ἂν οὖν νοεῖσθαι δύναιτο; ῥητέον ἐστίν, ὡς εἶδος μὲν οὐκ ἔστιν, εἶδος δὲ ἔχει, οὐ τὸ εἶδος ἐκεῖνο, ὅποτε μετὰ τῆς ὕλης ποιεῖ τὸ σύνθετον· ἡ γὰρ πρώτη ὕλη τοιοῦτον εἶδος ἔχειν οὐ δύναται, ἕως ἂν ᾖ τοιαύτη· ἀλλ' εἴτε ὁμοιότητα, εἴτε

ἰδέαν, εἴτε λόγον, εἴτε παράδειγμα, εἴτε μορφήν, εἴτε εἶδος τοῦ πράγματος δι' οὗ τὸ πρᾶγμα γινώσκεται, εἴτε τι τοιοῦτον δέοι καλεῖν αὐτό, τὸ τοιοῦτον εἶδος καὶ ἡ ὕλη κέκτηται οὕτω θεωρουμένη, δι' οὗ δήπου νοεῖται. Τοῦτο δὲ τὸ εἶδος πᾶσι τοῖς κτιστοῖς | ἔνεστι· πάντα γὰρ τὰ κτιστὰ ἐκ f. 39
τοῦ ὅ ἐστιν ἕκαστον κατὰ τὴν ἰδίαν φύσιν προΐσχονταί τινα ὁμοιότητα ἑαυτῶν, δι' ἧς παριστῶσιν ἑαυτὰ καθάπερ τινὶ κατόπτρῳ τῷ νῷ, καὶ διὰ τοῦτο πάντα τὸ εἶδος τοῦτο λέγονται ἔχειν. Ἐπεὶ δὲ καὶ ἡ ὕλη ἐκ τοῦ θεοῦ ἐστι παρηγμένη, δεῖ καὶ αὐτὴν τοιοῦτόν τι εἶδος ἔχειν, κἀντεῦθεν συμβαίνει πᾶσάν τε φύσιν ἑτέραν καὶ τὴν ὕλην αὐτὴν οὕτω δι' ἑαυτῆς εἶναι νοητήν, εἰ καὶ μηδεὶς ἄλλος εὑρίσκεσθαι δύναιτο τρόπος, ᾧ νοοῖτ' ἂν τοῖς ἄλλοις ὁμοίως πράγμασιν.

Τούτῳ τῷ τρόπῳ γνωστή ἐστιν ἡ ὕλη τῷ ἀνθρωπείῳ νῷ.

Ὁ κεχωρισμένος μέντοι γε νοῦς, τουτέστιν ὁ τῶν ἀγγέλων, οὐ τοιούτῳ εἴδει νοεῖ, τῷ ἐκ τῆς ὕλης προϊσχομένῳ, ἀλλὰ μᾶλλον ἐμπεφυκότι, διότι πλήρεις εἰδῶν εἰσιν οἱ ἀγγελικοὶ νοΐ· ἤ, κατά τινας, διὰ τοῦ τῆς ὕλης εἴδους, ὅπερ ἐστὶν ἐν τῷ θείῳ νῷ, καὶ ὁ ἀγγελικὸς νοῦς τὴν ὕλην νοεῖ. Ὁ δὲ πρῶτος καὶ ἄκτιστος νοῦς, νοεῖ ταύτην δι' εἴδους, ὅπερ ἐστὶν ἡ αἰτία τῆς ὕλης· τοῦτο δέ ἐστιν ἡ οὐσία αὐτοῦ κατὰ τὸν διδάσκαλον τοῦτον,

Οὔτε δὲ τὸ εἶδος μόνον οὐσία. — Ταῦτα μὲν οὖν ἀρκείτω περὶ τῆς ὕλης, τό γε νῦν ἔχον, ἁπλούστερόν πως διωρισμένα, ἣν δείξας ὁ διδάσκαλος μὴ δυναμένην λέγεσθαι μόνην οὐσίαν τοῦ συνθέτου πράγματος, τὸ αὐτὸ καὶ περὶ τοῦ εἴδους τίθησιν ἐφεξῆς. Ὥσπερ γάρ, φησίν, ἡ ὕλη μόνη οὐκ ἔστιν οὐσία τῆς συνθέτου φύσεως, οὕτως οὐδὲ τὸ εἶδος μόνον, εἰ καί τινες πειρῶνται τοῦτο διϊσχυρίζεσθαι. Οὐ δείκνυσι δὲ τοῦτο, ὡς φανερόν. Εἰ γὰρ ἡ σύνθετος φύσις ἐξ ὕλης τε καὶ εἴδους συνέστηκεν καὶ μέρη ταῦτα αὐτῆς εἰσιν, ἀναφορικά τε πρὸς ἄλληλα, ὡς πρότερον εἴρηται, καὶ ὡς ἡ δύναμις καὶ ἡ ἐνέργεια ἀλλήλοις παραβαλλόμενα, ᾧ λόγῳ θάτερον τούτων ἡ ὕλη οὐκ ἔστιν οὐσία τοῦ συνθέτου, τούτῳ οὐδὲ τὸ εἶδος εἴη γ' ἄν, ἀλλ' ὡς μὲν μέρη τοῦ συνθέτου καὶ φύσεις τινὲς ἐν αὐτῷ, οὐσίαι γ' ἂν εἶεν ταῦτα ἐν αὐτῷ καὶ αὐτοῦ λέγοιντ' ἂν εἶναι· ὡς δὲ ἡ οὐσία τοῦ ὅλου οὐκ ἂν εἴη οὐδέτερον τῶν μερῶν, εἰ καὶ πρὸς τὸ εἶναι τὸ ὅλον μᾶλλον ἡ κατὰ τὸ εἶδος οὐσία συμβάλλεται, ὅτι διὰ ταύτην ἐνεργείᾳ τὸ ὅλον ἐστίν. Οὐ δεῖ δέ τινα ταράττεσθαι, εἰ πρότερον μὲν ἔλεγε ταὐτὸν οὐσίαν τε καὶ εἶδος καὶ τὴν οὐσίαν κατὰ τοῦ εἴδους ἀληθῶς κατηγόρει, νῦν δὲ λέγει τὸ εἶδος μὴ εἶναι οὐσίαν τοῦ συνθέτου· τὸ γὰρ εἶδος διττόν ἐστι· τὸ μὲν τοῦ ὅλου, τὸ δὲ τοῦ μέρους, οἷον ἀνθρώπου εἶδος ἔνθεν μὲν ἀνθρωπότης, ἔνθεν δὲ ψυχή. | Τὸ μὲν οὖν τοῦ ὅλου εἶδος τοῦτ' ἔστιν ὅπερ f. 39v
ἡ οὐσία, καὶ περὶ ταύτης ἐσκόπει πρότερον ὁ διδάσκαλος· τὸ δὲ τοῦ εἴδους

12 ἀνθρωπίνῳ L  19 Οὔτε δὲ τὸ εἶδος: c. II, 3, p. 156, 31

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μέρος οὐκ ἔστιν οὐσία τοῦ ὅλου, καὶ περὶ ταύτης ἐνταῦθα σκοπεῖ. Ἔνιοι δὲ τὸ μέν φασι λογικὸν εἶναι εἶδος, δηλαδὴ τὸ τοῦ ὅλου, τὸ δὲ φυσικὸν εἶναι, δηλαδὴ τὸ τοῦ μέρους, καὶ τὸ μὲν ὡς ὅλον τι νοεῖσθαι ἐξ ἀφαιρέσεως, τὸ δὲ ὡς μέρος.

## XXVIII.

## κη΄. Ὅπως ὁ Πλάτων ἐτίθει τὴν ψυχὴν ὅλην εἶναι τὴν οὐσίαν τοῦ εἴδους.

Ἰσχυρίζεσθαι δέ τινας φησὶ μόνον τὸ εἶδος ὅλην εἶναι τὴν τοῦ συνθέτου οὐσίαν, τοὺς περὶ Πλάτωνα αἰνιττόμενος. Ὁ γὰρ Πλάτων ἐτίθει τὴν λογικὴν ψυχὴν ὅλην εἶναι τὴν τοῦ ἀνθρώπου οὐσίαν, ἑνοῦσθαί τε ταύτην τῷ σώματι ὡς τῷ κινητῷ τὸ κινοῦν, καὶ εἶναι τὴν ψυχὴν ἐν τῷ σώματι ὡς ὁ πλωτὴρ ἐν τῷ πλοίῳ. Τοῦτο δ' οἰκείως ἐτίθει καὶ συμφερόντως ἑτέρᾳ δόξῃ περὶ τῆς ἀνθρωπίνης ψυχῆς, ἣν ἐκεῖνος μάλιστα εἶχεν· ᾤετο γὰρ τὴν λογικὴν ψυχὴν εἶδος εἶναι πληρέστατον, καὶ καθ' αὑτὴν εἶναι πρὶν ἐς τόδε καταπεμφθῆναι τὸ σῶμα ἐπὶ τῷ δίκην ἐκτίσαι ἐπιθυμίας οὐκ ἀγαθῆς, ὥστε κατὰ συμβεβηκὸς αὐτὴν ἑνοῦσθαι αὐτῷ, καὶ τούτου αὖθις ἀπαλλαττομένην μετὰ φιλοσοφίας οὐκέτι προσδεῖσθαι αὐτοῦ διὰ τὴν ὑπάρξεως τελειότητα, ὥσπερ οὐδὲ ἄνθρωπος προσδέοιτ' ἂν ἱματίου· μᾶλλον δὲ ἱματίου μέν, εἰ καὶ μὴ πρὸς τὸ εἶναι, ἀλλὰ πρὸς τὴν τοῦ εἶναι συντήρησιν ἄνθρωπος δεῖται· ψυχῇ δὲ ἄχθος μόνον καὶ οἷον εἱρκτὴ καὶ πέδη τὸ σῶμα ἐστίν, ὃ πάνυ χαίρει καὶ γέγηθεν ἀποτιθεμένη. Ταῦτα μὲν Πλάτωνος δόξα περὶ ψυχῆς. Ἀριστοτέλει δὲ καὶ ἀληθείᾳ δοκεῖ μέρος τῆς ἀνθρωπείας οὐσίας εἶναι τὴν αὐτοῦ ψυχήν· τιθέασι γὰρ αὐτὴν μέρος τοῦ ἀνθρωπείου εἴδους τυγχάνειν.

Ἐκ τῶν εἰρημένων τοίνυν φαίνεται. — Ἐπεὶ δέ, φησίν, οὔτε ἡ ὕλη μόνη, οὔτε τὸ εἶδος μόνον ὅλη ἡ τοῦ συνθέτου οὐσία ἐστίν, σαφές ἐστιν οὐσίαν εἶναι αὐτοῦ τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον, τουτέστιν ἄμφω ταῦτα ὁμοῦ. Ἡ μὲν γὰρ οὐσία τοῦ πράγματος τῷ ὁρισμῷ σημαίνεται· οὗτος δέ, εἰ καλῶς τε καὶ προσφυῶς τῷ συνθέτῳ δοθείη, τήν τε ὕλην αὐτοῦ καὶ τὸ εἶδος περιέξει. Ὅτι δὲ ὁ τῶν ἐνύλων οὐσιῶν ὁρισμὸς ὑγιῶς ἔχων ἀμφότερα ταῦτα περιλαμβάνει, ἐκ τῆς διαφορᾶς δείκνυσι τῶν τε μαθηματικῶν ὁρισμῶν καὶ τῶν φυσικῶν· σαφὲς γάρ ἐστιν, ὡς οἱ τῶν μαθηματικῶν ὁρισμοὶ οὐ χρῶνται τῇ ὕλῃ· οὐδὲ γὰρ ἐν τῷ τοῦ τριγώνου ἢ τοῦ κύκλου λόγῳ τὴν ὕλην παραλαμβάνομεν. Καὶ τούτου λόγος ἐστίν,
f. 40 ὅτι κύκλος τε καὶ τρίγωνον καὶ πάντα τὰ μαθη|ματικὰ οὐ ζητοῦσιν ὕλην τινὰ ὡρισμένην, εἰ καὶ ὕλης χωρὶς οὐ δύνανται εἶναι, ἀλλ' ἔχουσι τὸ εἶναι ὁμοίως ἐν πάσῃ ὕλῃ καὶ ὁπωσποτε διατεθειμένῃ. Τοῖς δὲ φυσικοῖς εἴδεσιν ἑκάστοις ὥρισται ὕλη κατὰ ποσότητα καὶ ποιότητα καὶ τὰς ἄλλας δια-

25 *Ἐκ τῶν εἰρημένων*: c. II, 3, p. 156, 34

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θέσεις, ὥστε μὴ δύνασθαι τὴν τῷδε τῷ εἴδει ὑποβεβλημένην ὕλην μετὰ τῶν αὐτῶν διαθέσεων ἁρμόσαι ἂν καὶ ἑτέρῳ εἴδει. Εἰ τοίνυν ὁ τῶν ἐνύλων οὐσιῶν ὁρισμὸς μὴ περιέξει καὶ τὴν ὕλην μετὰ τοῦ εἴδους, ἀλλὰ τοῖς πρὸς τὸ εἶδος μόνον ἀνήκουσι συσταθήσεται, τίνα διαφορὰν καθόλου τῶν τε μαθηματικῶν καὶ τῶν φυσικῶν ὁρισμῶν ἔστιν εὑρεῖν; ἢ δῆλον ὅτι οὐδεμίαν, ἀλλ' οἱ αὐτοὶ ἔσονται φυσικοὶ καὶ μαθηματικοὶ ὁμοίως ἀποδιδόμενοι. Τοῦτο δὲ ἀδύνατόν ἐστι· δεῖ γὰρ διαφόρους εἶναι, ὅτι καὶ τὰ ὁριστὰ φύσει διενηνόχασιν, τὰ μὲν ἐν ὡρισμένῃ ὄντα ὕλῃ, τὰ φυσικά, καὶ τῇ τε ὑπάρξει τῇ τε θεωρίᾳ ταύτης ἀχώριστα· τὰ δὲ ἀχώριστα μὲν τῆς ὕλης ὅσον πρὸς τὸ εἶναι, τῆς γε διωρισμένης, κατὰ φύσιν δὲ ἑαυτῶν οὐκ ἀφορίζοντα σφίσιν τοιάνδε ἢ τοιάνδε ὕλην καὶ ᾧδέ πῃ ἢ ἑτέρως συμπεπλεγμένην, ἀλλὰ τὴν ἀπολελυμένην μόνον ποσότητα, ἣν δὴ καὶ μόνην ὁ μαθηματικὸς θεωρῶν δυναμένην πάνυ, ὥς γε προτέραν, τῶν ποιοτήτων χωρίζεσθαι, ἡγεῖται τὸ πᾶν ἔχειν τῆς περὶ τὰ μαθηματικὰ θεωρίας.

## XXIX.

### κθʹ. Εἰ ὁ φυσικὸς ὁρισμὸς ἐγκλείει τὴν ὕλην.

Ἀλλ' ἐπειδὴ τὸ τοῖς φυσικοῖς ὁρισμοῖς τὴν ὕλην ἐγκλείεσθαι δεῖν ἐναντίον πως εἶναι δοκεῖ τῷ Φιλοσόφῳ ἐν δευτέρῳ τῶν Φυσικῶν ἀξιοῦντι πάντα τὰ μέρη τοῦ ὁρισμοῦ ἐν τῷ γένει τῆς εἰδικῆς αἰτίας περιέχεσθαι ἢ ἀνάγεσθαι, ἰστέον ἐστὶν ὅτι πάντα τὰ τοῦ ὁρισμοῦ μέρη δύνανται λέγεσθαι ἐν τῷ γένει τῆς αἰτίας εἶναι τῆς εἰδικῆς· καὶ περὶ μὲν τῶν μερῶν τοῦ τε λογικοῦ καὶ μαθηματικοῦ ὁρισμοῦ, τοῦτο σαφές ἐστιν· ὁ γὰρ μαθηματικὸς τὴν εἰδικὴν μόνην αἰτίαν θεωρεῖ, καὶ διὰ τοῦτο οὓς ἀποδίδωσιν ὁρισμοὺς ὅ γε τοιοῦτος, εἰλικρινῶς εἰσιν εἰδικοί. Ὁ δὲ λογικὸς αὖθις ἐν τῷ ὁρισμῷ αὐτοῦ γένος λαμβάνει καὶ διαφοράν, ἅπερ ἄμφω εἴδη τινὰ σημαίνουσιν, εἴτε καθ' αὑτὰ θεωροῖντο, εἴτε ἐν τῇ πρὸς τὸ ὁριστὸν παραθέσει. Ἐν τῇ πρὸς τὸν ὁρισμὸν μέντοι γε τάξει, ὃς ἐξ αὐτῶν ἀμφοτέρων οἷον εἰπεῖν ἀνίσταται, τὸν τῆς ὕλης ἔχουσι λόγον· κἂν θάτερον ἔτι πρὸς θάτερον παραβάλληται, τὸ μὲν ἔχει λόγον ὕλης, οἷον τὸ γένος· τὸ δὲ λόγον εἴδους, οἷον ἡ διαφορά. Περὶ δὲ τοῦ φυσικοῦ ὁρισμοῦ δοκεῖ τις ἀμφισ|βήτησις εἶναι· ἐν αὐτῷ γὰρ ἀληθὴς ὕλη τίθεται, ὡς ὅταν λέγῃ f. 40ᵛ
τις· ἄνθρωπος ἐστὶ τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστώς· δυνάμεθα μέντοι καὶ ταύτῃ τὸν εἰδικὸν ἀποδιδόναι λόγον τῇ ὕλῃ· οὐ γὰρ σεσημειωμένη ὕλη, ἀλλὰ κοινὴ τοῦ ὁρισμοῦ γίνεται μέρος διὰ τὸ μόνον τὸ εἶδος ὁρίζεσθαι, οὐ μέντοι γε καὶ τὴν ὕλην. Ἀλλὰ πᾶν κοινὸν καὶ καθόλου ἐν τῇ πρὸς τὸ μερικὸν αὐτοῦ τάξει τὸν εἰδικὸν ἔχει λόγον· ἔχει γὰρ τὸν τοῦ κατηγορουμένου λόγον προδήλως, καὶ πᾶν κατηγορούμενον ἐν τῇ πρὸς τὸ

---

28 *ὁρισμὸν*: *ἀριθμὸν* L

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὑποκείμενον τάξει λόγον εἰδικὸν ἔχει· ὅθεν τὸ σῶμα ἁπλῶς πρὸς τὸ σῶμα τοδί εἰδικόν τι τυγχάνει ὄν. Καὶ τοῦτ᾽ ἔστιν ὅ φησιν ὁ Φιλόσοφος ἐν τῷ περὶ οὐρανοῦ, ὡς ἄρα ὁ μὲν λέγων οὐρανόν, τουτέστι τὸ καθόλου τε καὶ κοινόν, λέγει τὸ εἶδος· ὁ δὲ λέγων τόνδε τὸν οὐρανόν, τουτέστι τὸ μερικόν, λέγει τὴν ὕλην. Ὅθεν σαφές ἐστιν, ὅτι καὶ ἡ κοινὴ ὕλη τὸν τοῦ εἴδους λόγον πως ὑποδύεται.

Οὐδὲ δύναται λέγεσθαι ὅτι σημαίνει. — Νῦν ἀποσκευάζεταί τινα ἀπορίαν. Ἐπειδὴ γὰρ ἔλεγεν ἐν τῷ τῆς οὐσίας ὁρισμῷ, τῆς γε φυσικῆς, μὴ μόνον τὸ εἶδος ἀλλὰ καὶ τὴν ὕλην τίθεσθαι κἀντεῦθεν λέγεσθαι τὸ τὴν ὕλην πρὸς τὴν οὐσίαν ἀνήκειν, ἠδύνατό τις εἰπεῖν, ὡς ἄρα ἡ ὕλη ἐμπίπτει τῷ ὁρισμῷ οὐκ ἄλλως εἰ μὴ καθάπερ τι ἐπεισόδιον καὶ ὂν ἔξω τῆς οὐσίας αὐτοῦ. Πρὸς τοῦτο τοίνυν ἀποκρινόμενος, ἀδύνατον εἶναι τοῦτο φησίν· τὸ γὰρ διά τινων προσθηκῶν καὶ ἐπεισοδιωδῶν ὁρίζεσθαι τῶν συμβεβηκότων ἐστὶν ἴδιον, ἃ τελείαν οὐκ ἔχουσιν ὕπαρξιν· ὅθεν δεῖ τὸ ὑποκείμενον αὐτῶν ἐν τοῖς ὁρισμοῖς αὐτῶν προσλαμβάνεσθαι, ὅπερ ἐστὶν ἔξω τοῦ γένους αὐτῶν, οὐχὶ δὲ καὶ ταῖς συνθέτοις οὐσίαις τοῦτο προσήκει.

## XXX.

### λ'. Ὅπως διαφόρως ὁριζόμεθα τὰς συνθέτους οὐσίας, καὶ τὰ μέρη τῆς οὐσίας, καὶ τὰ συμβεβηκότα.

Δεῖ γὰρ εἰδέναι, ὡς ἄλλως μὲν ὁριζόμεθα τὰς συνθέτους οὐσίας, ἄλλως δὲ τὰ μέρη τῆς οὐσίας καὶ τὰ συμβεβηκότα. Ἐπειδὴ γὰρ αἱ σύνθετοι φύσεις τελείαν οὐσίαν ἔχουσι, καὶ οὐχ ἑτέρου τινὸς ἠρτημένην, ὁρίζονται μόναις ταῖς οὐσιώδεσι καὶ ἐνδοτέραις ἀρχαῖς, οἷον δι᾽ ὕλης τε καὶ εἴδους, ἢ γένους καὶ διαφορᾶς· τὰ δὲ μέρη τῆς οὐσίας, ὕλη τε δηλονότι καὶ εἶδος, οὐκ ἔχοντα τελείας οὐσίας, ὁρίζονται διά τινος ἔξω τῆς αὐτῶν οὐσίας ὑπάρχοντος, οἷον ὕλη τε δι᾽ εἴδους, καὶ τὸ ἀνάπαλιν. Ὡσαύτως δὲ ἔχει κἀπὶ τῶν συμβεβηκότων, ὅτι τελείαν οὐσίαν οὐκ ἔχοντα, ὁρίζονται διὰ τοῦ ὑποκειμένου αὐτῶν· τὸ γὰρ ὑποκείμενον οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ συμβεβηκότος. Ἐπεὶ δὲ καὶ τοῦθ᾽ ὑπ᾽ ἐνίων ἀμφισβητεῖται· φασὶ γάρ· οὗ χωρὶς οὐ δύναταί τι εἶναι οὔτε νοεῖσθαι οὔτε ὁρίζεσθαι, ἐκ τῆς οὐσίας
f. 41 ἐστὶν αὐτοῦ τό γε τοιοῦτον· οὕτω δ᾽ ἔχει τὸ ὑποκείμενον· | αὐτοῦ γὰρ χωρὶς οὔτ᾽ εἶναι οὔτε νοεῖσθαι οὔθ᾽ ὁρίζεσθαι δύναται τὸ συμβεβηκός· ἄρα καὶ τὰ λοιπά.

---

7 *Οὐδὲ δύναται λέγεσθαι*: c. II, 4, p. 157, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XXXI.

### λα'. Πότερον τὸ ὑποκείμενον ἐκ τῆς οὐσίας τοῦ συμβεβηκότος ἐστίν.

Ἐπεὶ ταῦτα λέγουσιν, εἰδέναι δεῖ, ὅτι τὸ ὑποκείμενον οὐδένα τρόπον δύναται λέγεσθαι ἐκ τῆς οὐσίας εἶναι τοῦ συμβεβηκότος· ἃ γὰρ ἀλλήλων πραγματικῶς τε καὶ οὐσιωδῶς διακέκριται, τούτων οὐ δύναται θάτερον ἐκ τῆς τοῦ λοιποῦ τυγχάνειν οὐσίας· τὸ δ' ὑποκείμενον καὶ τὸ συμβεβηκὸς οὕτως ἔχουσιν· εἰσὶ γὰρ ἐν διαφόροις κατηγορίαις, αὗται δέ εἰσιν ἀνεπίμικτοι. Ὃ δὲ ἀξιοῦσιν ἐκεῖνοι, περὶ μὲν αὐτοῦ τοῦ εἶναι ἀναμφισβήτητόν ἐστιν, ἀλλ' ὅσον πρὸς τὴν νόησιν τοιαύτην δεῖ διδόναι διαφοράν, ὅτι τὰ μέν ἐστιν ἐκ τῆς πρώτης ἐννοίας τινὸς πράγματος, ἃ δὴ καὶ ἐκ τῆς οὐσίας προδήλως ἐστὶν αὐτοῦ· τὰ δ' ἐκ τῆς δευτέρας μόνον καὶ ἑπομένης ἐννοίας εἰσίν, ἅπερ οὐ διὰ τοῦτο καὶ ἐκ τῆς οὐσίας τοῦ πράγματος εἶναι δύνανται. Ἐκ τούτων ἐστὶ καὶ τὸ ὑποκείμενον πρός γε τὸ συμβεβηκός· οὐ γάρ ἐστιν ἐκ τῆς πρώτης ἐννοίας τοῦ συμβεβηκότος τὸ ὑποκείμενον, ἀλλ' ἐκ τῆς δευτέρας καὶ ἑπομένης. Ὅσον δὲ πρὸς τὸν ὁρισμόν, καὶ τοῦτο ῥητέον ἐστίν, ὅτι τὸ μὲν ὑπ' ἐκείνων λεγόμενον νοεῖσθαι χρὴ περὶ τοῦ μὴ ἔχοντος ἐπεισοδιῶδές τι καὶ προστεθειμένον ἔξωθεν ὁρισμοῦ· τοῦτο δ' οὐχ ἁρμόττει τῷ νῦν ἡμῖν προκειμένῳ.

Οὐ δύναται δὲ λέγεσθαι. — Νῦν ἐκβάλλει τινὰ τοῦ τῆς οὐσίας λόγου, ἅπερ ἐπί τινων ἠδύναντ' ἂν δοκεῖν εἶναι τῶν πραγμάτων οὐσίας. Ἠδύνατο γάρ τις εἰπεῖν, ὡς εἴπερ ἥ τε ὕλη χωρὶς οὐκ ἔστιν οὐσίας τοῦ συνθέτου πράγματος, οὔτε τὸ εἶδος ὁμοίως, δεῖ λοιπὸν εἶναι οὐσίαν αὐτοῦ τὴν ἀμφοτέρων τούτων ἐν ἀλλήλοις ἀναφοράν, ἤ τι προστιθέμενον τῇ τε ὕλῃ καὶ τῷ εἴδει. Ἀλλὰ τοῦτο φησὶν ἀδύνατον εἶναι, καὶ λόγον τοιοῦτον προστίθησιν· οὐδὲν ὅπερ ἐστὶ συμβεβηκὸς καὶ ἐξωτερικὸν ἐν τῷ πράγματι καὶ οὐδ' ἀρχὴ τῆς τοῦ πράγματος τυγχάνει γνώσεως ἐν ἡμῖν δύναται τοῦτ' αὐτοῦ τυγχάνειν οὐσία· ἀλλὰ ταῦθ' οὕτως ἔχει τὰ εἰρημένα· οὐκοῦν οὐ δύνανται τυγχάνειν οὐσία ταῦτα τοῦ πράγματος. Ἡ μείζων αὐτόθεν ἐστὶν ἐναργής· ἡ δέ γε ἐλάττων οὑτωσὶ δείκνυται παρὰ τοῦ διδασκάλου ὅσον μόνον πρὸς τὸ συμβεβηκός· τούτου γὰρ εἰλημμένου δι' ἀποδείξεως, ὁ αὐτὸς ἔσται λόγος αὐτίκα καὶ περὶ τοῦ ἐξωτερικοῦ καὶ ὅπερ οὐκ ἔστιν ἀρχὴ τοῦ γινώσκεσθαι. Ἀλλ' οὐδὲν περὶ τῆς ἀναφορᾶς ἀποδείκνυσιν, ὡς ἔστι συμβεβηκός· παραιτεῖται γὰρ ὡς σαφές· ἀλλὰ περὶ τοῦ ἐπεισοδιώδους, δηλαδὴ τοῦ συμβεβηκότος, | μόνον ποιεῖται τὴν δεῖξιν, τοιαύτην γε οὖσαν. f. 41

Τὸ προσιὸν τινὶ ἤδη κατ' ἐνέργειαν ὑφεστῶτι καὶ τόδε τι ὄντι συμβεβηκός ἐστιν· ἀλλὰ τουτὶ τὸ προστιθέμενον, περὶ οὗ πρόκειται, τοιοῦτον ἂν εἴη· ὥστε καὶ τὸ συμπέρασμα. Ἡ μείζων ἐστὶ φανερά· τὴν δὲ μετ' αὐτὴν οὕτω διασαφεῖ· τὸ εἶδος γὰρ προσιόν, φησί, τῇ ὕλῃ ποιεῖ ταύτην ὂν ἐνερ-

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

γείᾳ καὶ τόδε τι· τὸ δὲ μετὰ ταῦτα ἐπεισιὸν ποιεῖ ἐνεργείᾳ τοιόνδε, ὥσπερ, λόγου χάριν, λευκότης. Ὅθεν τοῦ τοιούτου εἴδους τετευχὸς ἕκαστον, δηλαδὴ τοῦ συμβεβηκότος, οὐ λέγεται γίνεσθαι ἁπλῶς, ἀλλὰ πῇ καὶ κατά τι. Τούτου τοῦ λόγου καὶ τὴν μείζω καὶ τὴν ἐλάττω παρῆκεν ὁ διδάσκαλος πρότασιν· τὴν δὲ σαφήνειαν μόνον τέθεικε τῆς ἐλάττονος.

## XXXII.

### λβ΄. Ὅτι οὐ πᾶν ἐπερχόμενόν τινι ἐν τῷ ὄντι συμβεβηκός ἐστιν.

Ἐν δὲ τῇ μείζονι προτάσει τοῦ λόγου τὸ συμβεβηκὸς δεῖ νοεῖν ὀνομαστικῶς, οὐ μετοχικῶς· τὸ γὰρ συμβεβηκὸς ἑκατέρως ἐκλαμβάνεσθαι δύναται, κἂν μὲν ὡς ὄνομα οὐδέν ἐστι συμβεβηκὸς εἰ μὴ τὸ ἐν τῷ τοῦ συμβεβηκότος γένει τυγχάνον· τοιοῦτον δὲ νοεῖσθαι δεῖ τὸ ἐν τῇ προτάσει συμβεβηκός. Ἂν δὲ μετοχικῶς, πολλὰ μὴ ὄντα συμβεβηκότα κατὰ τὸ γένος, ὅμως συμβεβήκασί τινι, τουτέστι συμβεβηκότως ἐπιόντα τυγχάνουσιν, ὥσπερ ἱμάτιον μὲν ἀνθρώπῳ, ἄνθρωπος δὲ ζῴῳ. Ταῦτα δὲ πάντα οὐσίαι εἰσίν.

Λείπεται τοίνυν τὸ ὄνομα τῆς οὐσίας. — Ἐνταῦθα καὶ δὴ φανερῶς ὁρίζεται τὴν ἀλήθειαν, καὶ προτίθησι μὲν αὐτήν, εἶτ' ἀποδείκνυσιν ἀξιώμασί τε καὶ λόγῳ.

## XXXIII.

### λγ΄. Τίς ἐστιν ἡ κυρίως λεγομένη οὐσία ἐν τοῖς συνθέτοις πράγμασιν.

Ἐπειδὴ γάρ, φησίν, οὐσία τοῦ συνθέτου πράγματος οὔθ' ἡ ὕλη χωρίς, οὔτε τὸ εἶδος μόνον ἐστίν, οὐδ' ἡ μεταξὺ τούτων ἀναφορά, οὐδέ τι ἐπεισιόν, λείπεται τοὔνομα τῆς οὐσίας ἐν ταῖς συνθέτοις τῶν φύσεων μηδὲν ἄλλο σημαίνειν ἢ τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον. Καὶ τοῦτο σαφές ἐστιν οὕτως ἔχειν, πρῶτον μὲν ἀξιώματι τοῦ Βοητίου, εἶτα τοῦ Ἀβιγκένου, εἶτα τοῦ Ἀβερόου· καὶ τὰς ῥήσεις τούτων τῇ τάξει ταύτῃ προστίθησιν, αἳ σαφεῖς εἰσι κατὰ τὴν λέξιν, καὶ οὐδὲν ἡμᾶς δεῖ προστιθέναι, ἀλλὰ δύο ταυτὶ μόνον σημειώσασθαι δεῖ.

## XXXIV.

### λδ΄. Ὅτι τὸ τῆς οὐσίας ὄνομα παρὰ μὲν τοῖς Ἕλλησιν ὁμώνυμόν ἐστιν, παρὰ δὲ Λατίνοις ἑκάστη τῆς οὐσίας σημασία ἰδίαν ἔχει προσηγορίαν.

Πρῶτον, ὅτι τὸ τῆς οὐσίας ὄνομα παρὰ τοῖς Ἕλλησιν, δυσὶν ἐπιτέθειται πράγμασιν· λέγεται γὰρ οὐσία πῇ μὲν τὸ ὑποκείμενον ἐν τῷ τῆς οὐσίας γένει ἔσχατον ὄν, καθ' οὗ λέγεται καὶ ἐν ᾧ ἐστι καθ' αὑτὸ αὐτή

---

8 Titre omis dans L 17 *Λείπεται τοίνυν*: c. II, 5, p. 157, 16

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τε ἡ οὐσία καὶ ὅσα ἁρμόττει τῶν ὑπ' αὐτήν, ὃ παρὰ Λατίνοις ὑπόστασις ὀνομάζεται, ὡς ὑφεστὼς δήπου καὶ ὑποκείμενον πᾶσι τοῖς τε καθ' αὑτὸ καὶ τοῖς συμβεβηκότως ὑπάρχουσιν ἐν αὐτῷ καὶ κατ' αὐτοῦ λεγομένοις, οἷον | Σωκράτης· πῇ δὲ οὐσία λέγεται ἡ φύσις αὐτὴ καὶ τὸ εἶδος ᾧ f. 42
ἔστιν ἕκαστον, οἷον οὐσία Σωκράτους ἡ ἀνθρωπότης, ὅτι ταύτῃ ἐστὶν ἄνθρωπός γε ὤν, ἣν Λατῖνοι ἐσσέντιαν ὀνομάζουσιν, ἀπὸ τοῦ ἔσσε, ὃ παρ' αὐτοῖς σημαίνει τὸ εἶναι καὶ τὸ ὄν. Αὕτη δὲ ἡ οὐσία πάντα διατρέχει τὰ γένη· οὐδὲν γάρ ἐστιν ἐν ὁτῳοῦν γένει τοῦ ὄντος ὡς ἀληθῶς, ὅπερ οὐκ ἔχει τινὰ λόγον καὶ εἶδος καὶ φύσιν· τοῦτο δέ ἐστιν ἡ οὐσία αὐτοῦ· ὡς γὰρ ἀνθρώπου οὐσία ἡ ἀνθρωπότης, οὕτω καὶ λευκοῦ ἡ λευκότης· ἄνθρωπός τε γὰρ τῇ ἀνθρωπότητι ἐστι, καὶ τὸ λευκὸν τῇ λευκότητι, καὶ ἐπὶ τῶν ἄλλων συμβεβηκότων ὁμοίως. Ἐν μὲν οὖν τῷ τῶν Λατίνων ἰδιώματι σαφής ἐστιν ὁ περὶ τῶν τοιούτων λόγος, ἅτε δυσὶ πράγμασι διττῶν κειμένων τῶν ὀνομάτων· ἀσαφὴς δέ πως ἐστὶν εἰς τὴν ἡμετέραν μεταβαλλόμενος διὰ τὸ ἑκατέραν ἐκδοχὴν τῆς οὐσίας ὑπὸ μιᾷ προσηγορίᾳ σημαίνεσθαι, ὥσπερ ἐνταῦθα ἡ τῶν συνθέτων οὐσιῶν οὐσία, εἶπε δ' ἄν τις καθ' Ἕλληνας μεταβαλών· ἡ τῶν συνθέτων φύσεων οὐσία. Ἀλλὰ καὶ τοῦτο κατὰ Λατίνους ἦν ἂν ἀσαφές· φύσιν γὰρ ἐκεῖνοι μάλιστα τὸ εἶδος καλοῦσιν καὶ τὴν οὐσίαν τὴν τὸ εἶδος σημαίνουσαν, ὡς ἔκ τε τῶν προειρημένων δῆλόν ἐστιν καὶ προϊόντος τοῦ λόγου φανερωθήσεται. Καὶ νῦν δὲ φύσιν Ἀβερόης τὴν οὐσίαν λέγει προδήλως· ἀρκεῖ μέντοι γε καὶ τὰ εἰρημένα νῦν πρὸς λύσιν τῆς ἐκ τῆς ὁμωνυμίας συμβάσης ἄν τινι δυσχερείας, ᾧ γε μὴ καὶ οἴκοθεν ἔξεστι καλῶς ταυτὶ συνορᾶν τε καὶ διακρίνειν.

Δεύτερον εἰδέναι δεῖ, ὅτι τῷόντι μὲν οὐσία τοῦ συνθέτου ἐστὶν ὅπερ ἐκ τῆς πρὸς τὴν ὕλην τοῦ εἴδους ἑνώσεως ἀναθρῴσκει, ὡς ἐν ἀνθρώπῳ ἡ ἀνθρωπότης, καὶ ἡ λιθότης φέρε εἰπεῖν ἐν τῷ λίθῳ, καὶ ἐν τοῖς ἄλλοις ὁμοίως. Ὅθεν οὐ δεῖ τὴν τοῦ Βοητίου λέξιν ἁπλῶς ἐκλαμβάνεσθαι· οὐκ ἂν γὰρ ἀληθὴς οὕτως εἴη, ἀλλ' οὕτως αὐτὴν νοητέον· οὐσία τῆς συνθέτου οὐσίας ἐστὶν αὐτὸ τὸ σύνθετον, ὅ φησιν Ἀβιγκένας, αὐτὴν εἶναι τὴν σύνθεσιν σαφέστερον λέγων, καὶ ἔτι σαφέστερον Ἀβερόης μέσον τί φησιν εἶναι, τουτέστι τὸ ἐκ τῆς τῶν μερῶν ἀναθρῷσκον συνθέσεως.

Δείξας οὖν οὕτω τοῖς τῶν φιλοσόφων τούτων ἀξιώμασιν, εἶτα καὶ λόγον ἐπάγει τοιόνδε· ὡς ἔχει τὸ εἶναι πρὸς τὴν σύνθετον οὐσίαν, οὕτω καὶ ἡ οὐσία· ἀλλὰ τὸ εἶναι τῆς οὐσίας, τῆς γε τοιαύτης, οὔτε τοῦ εἴδους μόνον ἐστίν, οὔτε μόνης τῆς ὕλης, ἀλλ' αὐτοῦ τοῦ συνθέτου· καὶ ἡ οὐσία ἄρα ὁμοίως ἕξει. Ἡ μείζων ἐναργής ἐστιν ἐντεῦθεν· διὰ γὰρ τῆς οὐσίας | ἔχει τὸ πρᾶγμα τὸ εἶναι. Ἡ δέ γε ἐλάττων ἀφ' αὑτῆς ἐστι φανερά· f. 42v
προστίθησι μέντοι γε ὡς, εἰ καὶ ἡ οὐσία καὶ τὸ εἶναι τήν τε ὕλην καὶ τὸ εἶδος ἅμα περιλαμβάνουσιν, ἀλλ' ὅμως τῆς τοιαύτης οὐσίας τὸ εἶδος μόνον πέφυκεν αἴτιον· τοῦτο γάρ ἐστιν ὃ δίδωσι τὸ εἶναι τῷ πράγματι.

ΙΩΑΝΝΙΝΑ 2006